# ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ[1]

*[Salutation]*

**1**.1 Παυλος, αποστολος Ιησου Χριστου[2] δια θεληματος Θεου, και Τιμοθεος ὁ αδελφος, 2 τοις
εν Κολοσσαις[3] ἁγιοις και πιστοις αδελφοις εν Χριστω: χαρις ὑμιν και ειρηνη απο Θεου
Πατρος ἡμων και Κυριου Ιησου Χριστου.[4]

*[Building rapport]*

3 Ευχαριστουμεν τω Θεω και[5] Πατρι του Κυριου ἡμων Ιησου Χριστου παντοτε περι
ὑμων προσευχομενοι 4 (ακουσαντες την πιστιν ὑμων εν Χριστω Ιησου και την αγαπην την[6]
εις παντας τους ἁγιους), 5 δια την ελπιδα την αποκειμενην ὑμιν εν τοις ουρανοις, ἣν
προηκουσατε εν τω λογω της αληθειας 6 (του ευαγγελιου του παροντος εις ὑμας καθως και εν
παντι τω κοσμω, και[7] εστιν καρποφορουμενον και αυξανομενον[8] καθως και εν ὑμιν, αφ' ἧς
ἡμερας ηκουσατε και επεγνωτε την χαριν του Θεου εν αληθεια), 7 καθως και[9] εμαθετε απο
Επαφρα, του αγαπητου συνδουλου ἡμων, ὅς εστιν πιστος ὑπερ ὑμων[10] διακονος του Χριστου,
8 ὁ και δηλωσας ἡμιν την ὑμων αγαπην εν πνευματι.

## [Christ preeminent]

*[Walk worthily of the Lord]*

**1**.9 Δια τουτο και ἡμεις, αφ' ἧς ἡμερας ηκουσαμεν, ου παυομεθα ὑπερ ὑμων προσευχομενοι
και αιτουμενοι ἱνα πληρωθητε την επιγνωσιν του θεληματος αυτου εν παση σοφια και
συνεσει πνευματικη, 10 περιπατησαι ὑμας[11] αξιως του Κυριου εις πασαν αρεσκειαν,[12] εν
παντι εργω αγαθω καρποφορουντες και αυξανομενοι εις την επιγνωσιν[13] του Θεου· 11 εν
παση δυναμει δυναμουμενοι κατα το κρατος της δοξης αυτου, εις πασαν ὑπομονην και
μακροθυμιαν·

12 μετα χαρας ευχαριστουντες τω[14] Πατρι τω ἱκανωσαντι ἡμας[15] εις την μεριδα του
κληρου των ἁγιων εν τω φωτι· 13 ὃς ερρυσατο ἡμας εκ της εξουσιας του σκοτους και
μετεστησεν εις την βασιλειαν του Υἱου της αγαπης αυτου, 14 εν ᾧ εχομεν την απολυτρωσιν
δια του αἱματος αυτου,[16] την αφεσιν των ἁμαρτιων·

*[The supremacy of Christ described]*

15 ὅς εστιν εικων του Θεου του αορατου, πρωτοτοκος πασης[17] κτισεως, 16 ὁτι εν αυτω
εκτισθη τα παντα—τα[18] εν τοις ουρανοις και τα[19] επι της γης, τα ὁρατα και τα αορατα, ειτε

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©. I venture to affirm to the reader that all original wording of Colossians is preserved in this edition, if not in the Text, at least in the apparatus. "Diminish not a word" Jeremiah 26:2 (see Deut. 4:2 and Luke 4:4, "every word" [as in 99.6% of the MSS]). The last note at the end of this book gives explanation about the apparatus.

[2] ιησου χριστου $\mathbf{f}^{35}$ [95%] RP,HF,OC,TR,CP || ~ 21 $P^{46}$ℵA,B [5%] NU

[3] κολοσσαις $\mathbf{f}^{35}$ ℵB [60%] CP,NU || κολασσαις ($P^{46}$A)I [40%] RP,HF,OC,TR

[4] και κυριου ιησου χριστου $\mathbf{f}^{35}$ ℵA,C,I [80%] RP,HF,OC,TR,CP || --- B [20%] NU

[5] και $\mathbf{f}^{35}$ ℵA,I [98%] RP,HF,OC,TR,CP || --- B,C [2%] NU

[6] την $\mathbf{f}^{35}$ (86.7%) RP,HF,OC,TR,CP || ην εχετε ℵA,C (11.4%) NU || ην εχεται (1.2%) || --- B (0.7%)

[7] και $\mathbf{f}^{35}$ [95%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [5%] NU

[8] και αυξανομενον $\mathbf{f}^{35}$ ℵA,B,C (48%) RP,HF,OC,CP,NU || --- (52%) TR (The omission could be an easy case of homoioteleuton.)

[9] και $\mathbf{f}^{35}$ [95%] RP,HF,OC,TR || --- $P^{46}$ℵA,B,C [5%] CP,NU

[10] υμων $\mathbf{f}^{35}$ C [90%] RP,HF,OC,TR,CP,NU || ημων $P^{46}$ℵA,B [10%]

[11] υμας $\mathbf{f}^{35}$ [95%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [5%] NU

[12] αρεσκειαν *rell* || αρεσκιαν ℵA,C [15%]

[13] εις την επιγνωσιν $\mathbf{f}^{35}$ (90.5%) RP,HF,OC,TR,CP || τη επιγνωσει $P^{46}$ℵA,B,C,I (4.6%) NU || εν τη επιγνωσει (4.1%) || three other readings (0.7%)

[14] τω $\mathbf{f}^{35}$ $P^{46}$A,B,C [65%] RP,HF,TR,NU || 1 θεω και [30%] OC,CP || 1 θεω ℵ [5%] (OC has small print.)

[15] ημας $\mathbf{f}^{35}$ A,C [97%] RP,HF,OC,TR,CP || υμας ℵB [3%] NU (The context is inclusive—first person.)

[16] δια του αιματος αυτου $\mathbf{f}^{35}$ [60%] TR || --- ℵA,B,C [40%] RP,HF,OC,CP,NU (The omission was presumably deliberate—one wonders why.)

[17] πασης *rell* || 1 της [10%]

[18] τα $\mathbf{f}^{35}$ A,C [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵB [3%] NU

[19] τα $\mathbf{f}^{35}$ A,C [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵB [3%] NU

θρονοι ειτε κυριοτητες ειτε αρχαι ειτε εξουσιαι—τα παντα δι’ αυτου και εις αυτον εκτισται·
17 και αυτος εστιν προ παντων, και τα παντα εν αυτω συνεστηκεν. 18 Και, αυτος εστιν ἡ[1]
κεφαλη του σωματος, της εκκλησιας·
ὅς εστιν αρχη, πρωτοτοκος εκ των νεκρων, ἵνα γενηται εν πασιν αυτος πρωτευων,
19 ὅτι <u>εν</u> αυτω ευδοκησεν[2] παν το πληρωμα κατοικησαι 20 και <u>δι</u>’ αυτου αποκαταλλαξαι τα[3]
παντα εις αυτον, ειρηνοποιησας δια του αἵματος του σταυρου αυτου—δι’ αυτου,[4] ειτε τα επι
της γης ειτε τα επι[5] τοις ουρανοις.

*[The truth applied]*

21 Και ὑμας (ποτε οντας απηλλοτριωμενους και εχθρους τη διανοια εν τοις εργοις
τοις πονηροις) 22 νυνι δε αποκατηλλαξεν εν τω σωματι της σαρκος αυτου δια του θανατου
αυτου,[6] παραστησαι ὑμας ἁγιους και αμωμους και ανεγκλητους κατενωπιον αυτου—23 ει γε
επιμενετε τη πιστει τεθεμελιωμενοι και ἑδραιοι, και μη μετακινουμενοι απο της ελπιδος του
ευαγγελιου, οὗ ηκουσατε του κηρυχθεντος εν παση τη[7] κτισει τη ὑπο τον ουρανον, οὗ
εγενομην εγω, Παυλος, διακονος.

[What Paul does and why he does it]

*[Present everyone perfect in Christ]*

**1**.24 Νυν χαιρω εν τοις παθημασιν μου[8] ὑπερ ὑμων και ανταναπληρω τα ὑστερηματα των
θλιψεων του Χριστου εν τη σαρκι μου, ὑπερ του σωματος αυτου, ὅ[9] εστιν ἡ εκκλησια, 25 ᾗς
εγενομην εγω διακονος κατα την οικονομιαν του Θεου την δοθεισαν μοι εις ὑμας, πληρωσαι
τον λογον του Θεου, 26 το μυστηριον το αποκεκρυμμενον απο των αιωνων και απο των
γενεων, νυνι[10] δε εφανερωθη τοις ἁγιοις αυτου· 27 οἷς ηθελησεν ὁ Θεος γνωρισαι τίς ὁ[11]
πλουτος της δοξης του[12] μυστηριου τουτου εν τοις εθνεσιν, ὅς[13] εστιν Χριστος εν ὑμιν, ἡ
ελπις της δοξης· 28 ὃν ἡμεις καταγγελλομεν, νουθετουντες παντα ανθρωπον και διδασκοντες
παντα ανθρωπον[14] εν παση σοφια, ἵνα παραστησωμεν παντα ανθρωπον[15] τελειον[16] εν
Χριστω·[17] 29 εις ὃ και κοπιω, αγωνιζομενος κατα την ενεργειαν αυτου την ενεργουμενην εν
εμοι εν δυναμει.

*[A wealth of confident understanding]*

**2**.1 Θελω γαρ ὑμας ειδεναι ἡλικον αγωνα εχω περι[18] ὑμων και των εν Λαοδικεια,[19]
και ὅσοι ουχ ἑωρακασιν[20] το προσωπον μου εν σαρκι, 2 ἵνα παρακληθωσιν αἱ καρδιαι αυτων,
συμβιβασθεντων[21] εν αγαπη και εις παντα πλουτον[1] της πληροφοριας της συνεσεως, εις

---

[1] η *rell* || --- [2%] CP

[2] ευδοκησεν *rell* || ηυδοκησεν A [15%]

[3] τα *rell* || --- CP

[4] δι αυτου **f**[35] P[46]ℵA,C,048 [80%] RP,HF,OC,TR,CP[NU] || --- B,I [20%] (The omission of the emphatic repetition is surely inferior.)

[5] επι **f**[35] [50%] RP,HF,CP || εν ℵA,B,C [50%] OC,TR,NU (The change to ‘in’ may have been unthinking, but is clearly inferior—beings and things that are an inherent part of Heaven don’t need ‘reconciling’.)

[6] αυτου **f**[35] ℵA [40%] || --- P[46v]B,C,I[v] [60%] RP,HF,OC,TR,CP,NU

[7] τη **f**[35] [95%] RP,HF,OC,TR,CP || --- P[46]ℵA,B,C [5%] NU

[8] μου **f**[35] [55%] OC,TR || --- ℵA,B,C [45%] RP,HF,CP,NU (OC has small print.)

[9] ο *rell* || ος C [10%]

[10] νυνι **f**[35] A [90%] RP,HF,OC,TR,CP || νυν ℵB,C [10%] NU

[11] τις ο **f**[35] ℵC [40%] OC,TR || τι το P[46]A,B [60%] RP,HF,CP,NU (In the context the masculine gender is correct—P[46]A,B [4%] NU are consistent in that they go on to read ὅ εστιν Χριστος, but not the [56%] RP,HF,CP.)

[12] του *rell* || --- CP

[13] ος **f**[35] ℵC,I [96%] RP,HF,OC,TR,CP || ο P[46]A,B [4%] NU

[14] παντα ανθρωπον *rell* || --- [10%] CP

[15] παντα ανθρωπον **f**[35] ℵA,B,C [90%] RP,HF,OC,TR,CP,NU || --- [10%]

[16] τελειον *rell* || --- CP

[17] χριστω **f**[35] P[46]ℵA,B,C [40%] NU || 1 ιησου [60%] RP,HF,OC,TR,CP

[18] περι **f**[35] [93%] RP,HF,OC,TR,CP || υπερ P[46]ℵA,B,C [7%] NU

[19] λαοδικεια *rell* || λαοδικια ℵA,B,C [10%]

[20] εωρακασιν **f**[35] [85%] RP,HF,OC,TR,CP || εορακασιν [10%] || εωρακαν A,B [2%] || εορακαν P[46]ℵC [3%] NU

[21] συμβιβασθεντων **f**[35] [95%] RP,HF,OC,TR,CP || συμβιβασθεντες (P[46])ℵA,B(C) [4%] NU || συμβιβασθωσιν [1%]

επιγνωσιν του μυστηριου του Θεου και Πατρος και του[2] Χριστου, 3 εν ᾧ εισιν παντες οἱ
θησαυροι της σοφιας και της[3] γνωσεως αποκρυφοι.
4 Τουτο δε[4] λεγω ἱνα μη τις[5] ὑμας παραλογιζηται εν πιθανολογια.[6] 5 Ει γαρ και τη
σαρκι απειμι, αλλα τω πνευματι συν ὑμιν ειμι, χαιρων και βλεπων ὑμων την ταξιν και το
στερεωμα της εις Χριστον πιστεως ὑμων.

[Christian responsibility]

**2**.6 Ὡς ουν παρελαβετε τον Χριστον, Ιησουν τον Κυριον, εν αυτω περιπατειτε,
7 ερριζωμενοι και εποικοδομουμενοι εν αυτω και βεβαιουμενοι εν τη[7] πιστει, καθως
εδιδαχθητε, περισσευοντες εν αυτη[8] εν ευχαριστια.

*[Christ VS 'the world']*

8 Βλεπετε μη τις ὑμας εσται ὁ συλαγωγων δια της φιλοσοφιας και κενης απατης, κατα
την παραδοσιν των ανθρωπων, κατα τα στοιχεια του κοσμου και ου κατα Χριστον. 9 Ὁτι εν
αυτω κατοικει παν το Πληρωμα της Θεοτητος σωματικως, 10 και εστε εν αυτω πεπληρωμενοι
ὅς εστιν ἡ κεφαλη πασης αρχης και εξουσιας· 11 εν ᾧ και περιετμηθητε, περιτομη
αχειροποιητω, εν τη απεκδυσει του σωματος των ἁμαρτιων[9] της σαρκος, εν τη περιτομη του
Χριστου, 12 συνταφεντες αυτω εν τω βαπτισματι·[10] εν ᾧ και συνηγερθητε δια της πιστεως
της ενεργειας του Θεου του εγειραντος αυτον εκ των[11] νεκρων.
13 Και ὑμας, νεκρους οντας[12] τοις παραπτωμασιν και τη ακροβυστια της σαρκος ὑμων
—συνεζωοποιησεν ὑμας[13] συν αυτω· χαρισαμενος ἡμιν[14] παντα τα παραπτωματα· 14 εξαλειψας
το καθ' ἡμων χειρογραφον (τοις δογμασιν) ὃ ἦν ὑπεναντιον ἡμιν, και αυτο ηρκεν[15] εκ του
μεσου, προσηλωσας αυτο τω σταυρω· 15 απεκδυσαμενος τας αρχας και τας εξουσιας,
εδειγματισεν εν παρρησια, θριαμβευσας αυτους εν αυτω.

*[Don't be disqualified!]*

16 Μη ουν τις ὑμας κρινετω εν βρωσει ἢ[16] εν ποσει, ἢ εν μερει ἑορτης ἢ νουμηνιας[17]
ἢ σαββατων, 17 ἅ εστιν σκια των μελλοντων, το δε σωμα[18] Χριστου. 18 Μηδεις ὑμας
καταβραβευετω, θελων εν ταπεινοφροσυνη και θρησκεια των αγγελων, ἃ μη ἑωρακεν[19]
εμβατευων, εικη φυσιουμενος ὑπο του νοος της σαρκος αυτου, 19 και ου κρατων την κεφαλην,
εξ οὗ παν το σωμα, δια των ἁφων[20] και συνδεσμων επιχορηγουμενον και συμβιβαζομενον,
αυξει την αυξησιν του Θεου.

---

[1] παντα πλουτον **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || παν πλουτος P$^{46}$ℵB [3%] NU || παν το πλουτος A,C [2%]

[2] και πατρος και του **f**$^{35}$ (79.6%) RP,HF,OC,TR,CP || 124 (12.9%) || 234 (1.8%) || 123 (0.7%) || 24 A,C (0.7%) || 23 (0.2%) || 2 ℵ,048 (0.3%) || --- P$^{46}$B (3%) NU || five other readings (0.8%)

[3] της **f**$^{35}$ A [95%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵB,C [5%] NU

[4] δε **f**$^{35}$ C,048 [95%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵA,B [5%] NU

[5] μη τις **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || μηδεις ℵA,B,C,048 [5%] NU

[6] πιθανολογια *rell* || πειθανολογια [2%] CP

[7] εν τη **f**$^{35}$ ℵ [95%] RP,HF,OC,TR,CP || 1 A,C,I [2%] || 2 B [3%] NU

[8] εν αυτη **f**$^{35}$ B,048$^{v}$ [95%] RP,HF,OC,TR,CP || --- ℵA,C,I$^{v}$ [4%] NU || 1 αυτω D [1%]

[9] των αμαρτιων **f**$^{35}$ (92.5%) RP,HF,OC,TR,CP || --- P$^{46}$ℵA,B,C (7%) NU || omit longer stretches (0.5%) (Would not 'the body of the flesh', the reading of NU, be something of a tautology?)

[10] βαπτισματι **f**$^{35}$ ℵA,C [95%] RP,HF,OC,TR,CP || βαπτισμω P$^{46}$B [2%] NU

[11] των **f**$^{35}$ B [70%] RP,HF,OC,TR || --- P$^{46}$ℵA,C [30%] CP,NU

[12] οντας **f**$^{35}$ ℵB [45%] || 1 εν P$^{46}$A,C,048 [55%] RP,HF,OC,TR,CP[NU] (OC is in small print.)

[13] υμας **f**$^{35}$ ℵA,C [65%] RP,HF,OC,CP,NU || ημας P$^{46}$B [20%] || --- [15%] TR

[14] ημιν **f**$^{35}$ ℵA,B,C [70%] RP,HF,OC,TR,CP,NU || υμιν [30%] (some TRs)

[15] ηρκεν **f**$^{35}$ P$^{46}$ℵA,B,C [60%] RP,HF,TR,NU || ηρεν [40%] OC,CP

[16] η **f**$^{35}$ ℵA,C,I [98%] RP,HF,OC,TR,CP || και P$^{46}$B [2%] NU

[17] νουμηνιας *rell* || νεομηνιας B [2%] NU

[18] σωμα **f**$^{35}$ P$^{46}$ [95%] RP,HF,OC,CP || 1 του ℵA,B,C [5%] TR,NU

[19] μη εωρακεν **f**$^{35}$ (83.5%) RP,HF,OC,TR,CP || 1 εορακεν C (12.3%) || 1 εωρακαμεν (1.7%) || 1 εωρακως (0.5%) || 1 εωρακατε (0.2%) || ουκ 2 (0.3%) || 2 P$^{46}$A (0.5%) || εορακεν ℵB,I (1%) NU

[20] ἁφων *rell* || αφων [25%]

20 Ει ουν απεθανετε[1] συν[2] Χριστω απο των στοιχειων του κοσμου, τί, ὡς ζωντες εν
κοσμω, δογματιζεσθε 21—"Μη ἁψη, μηδε[3] γευση, μηδε θιγης!"—22 (ἅ εστιν παντα εις φθοραν
τη αποχρησει) κατα τα ενταλματα και διδασκαλιας των ανθρωπων? 23 Ἁτινα εστιν λογον
μεν εχοντα σοφιας εν εθελοθρησκεια[4] και ταπεινοφροσυνη και[5] αφειδια[6] σωματος, ουκ εν τιμη
τιμη τινι προς πλησμονην της σαρκος.

*[Things above VS things below]*

**3**.1 Ει ουν συνηγερθητε τω Χριστω, τα ανω ζητειτε, οὗ ὁ Χριστος εστιν, εν δεξια
του Θεου καθημενος· 2 τα ανω φρονειτε, μη τα επι της γης, 3 απεθανετε γαρ και ἡ ζωη ὑμων
κεκρυπται συν τω Χριστω εν τω[7] Θεω. 4 Ὁταν ὁ Χριστος φανερωθη, ἡ ζωη ἡμων,[8] τοτε και
και ὑμεις συν αυτω φανερωθησεσθε εν δοξη.

5 Νεκρωσατε ουν τα μελη ὑμων[9] τα επι της γης: πορνειαν, ακαθαρσιαν, παθος,
επιθυμιαν κακην, και την πλεονεξιαν ἡτις εστιν ειδωλολατρια·[10] 6 δι' ἃ ερχεται ἡ οργη του
Θεου επι τους υἱους της απειθειας,[11] 7 εν οἱς και ὑμεις περιεπατησατε ποτε ὁτε εζητε εν
αυτοις.[12] 8 Νυνι δε αποθεσθε και ὑμεις τα παντα—οργην, θυμον, κακιαν, βλασφημιαν,
αισχρολογιαν—εκ του στοματος ὑμων. 9 Μη ψευδεσθε εις αλληλους, απεκδυσαμενοι τον
παλαιον ανθρωπον συν ταις πραξεσιν αυτου 10 και ενδυσαμενοι τον νεον, τον
ανακαινουμενον εις επιγνωσιν κατ' εικονα του κτισαντος αυτον, 11 ὁπου ουκ ενι Ἑλλην και
Ιουδαιος, περιτομη και ακροβυστια, βαρβαρος, Σκυθης, δουλος, ελευθερος· αλλα τα[13] παντα και
εν πασιν Χριστος.

*[Relationships among believers]*

12 Ενδυσασθε ουν, ὡς εκλεκτοι του Θεου, ἁγιοι και ηγαπημενοι, σπλαγχνα
οικτιρμου,[14] χρηστοτητα, ταπεινοφροσυνην, πραοτητα,[15] μακροθυμιαν· 13 ανεχομενοι αλληλων
και χαριζομενοι ἑαυτοις, εαν τις προς τινα εχη[16] μομφην—καθως και ὁ Χριστος[17] εχαρισατο
ὑμιν,[18] οὑτως και ὑμεις· 14 επι πασιν δε τουτοις την αγαπην, ἡτις[19] εστιν συνδεσμος της
τελειοτητος.

15 Και ἡ ειρηνη του Θεου[20] βραβευετω εν ταις καρδιαις ὑμων, εις ἣν και εκληθητε εν
ἑνι σωματι· και ευχαριστοι γινεσθε.

16 Ὁ λογος του Χριστου[21] ενοικειτω εν ὑμιν πλουσιως εν παση σοφια διδασκοντες
και νουθετουντες ἑαυτους, ψαλμοις και[22] ὑμνοις και[23] ωδαις πνευματικαις εν[24] χαριτι αδοντες
εν τη καρδια[1] ὑμων τω Κυριω.[2]

---

[1] ουν απεθανετε **f**[35] [80%] OC,TR || ~ 21 (ℵ) [5%] || 2 A,B,C [15%] RP,HF,CP,NU
[2] συν **f**[35] ℵA,B,C [95%] RP,HF,CP,NU || 1 τω [5%] OC,TR
[3] μηδε **f**[35] ℵA,B,C [90%] RP,HF,OC,TR,NU || μη [10%] CP (Twice.)
[4] εθελοθρησκεια *rell* || εθελοθρησκια ℵC [10%] OC,NU
[5] και **f**[35] ℵA,C [98%] RP,HF,OC,TR,CP[NU] || --- P[46]B [2%]
[6] αφειδια *rell* || αφειδεια [10%]
[7] τω **f**[35] P[46]ℵA,B,C [80%] RP,HF,OC,TR,CP,NU || --- [20%]
[8] ημων **f**[35] B [90%] RP,HF,OC,TR,CP || υμων P[46]ℵC [10%] NU
[9] υμων **f**[35] A [95%] RP,HF,OC,TR,CP || --- P[46]ℵB,C [5%] NU
[10] ειδωλολατρια **f**[35] (C) [55%] OC,NU || ειδωλολατρεια ℵA,B [45%] RP,HF,TR,CP
[11] επι τους υιους της απειθειας **f**[35] ℵA(C)I [99%] RP,HF,OC,TR,CP[NU] || --- P[46]B [1%]
[12] αυτοις **f**[35] 048 [97%] RP,HF,OC,TR,CP || τουτοις P[46]ℵA,B,C,I [3%] NU
[13] τα **f**[35] B [98%] RP,HF,OC,TR,CP[NU] || --- ℵA,C [2%]
[14] οικτιρμου **f**[35] ℵA,B,C [80%] RP,HF,OC,CP,NU || οικτιρμων [20%] TR
[15] πραοτητα **f**[35] [97%] RP,HF,OC,TR,CP || πραυτητα ℵA,B,C [3%] NU
[16] εχη *rell* || εχει [10%] CP || εχητε [2%]
[17] χριστος **f**[35] C [97%] RP,HF,OC,TR,CP || κυριος P[46]A,B,I [2%] NU || θεος ℵ [1%]
[18] υμιν **f**[35] ℵA,B [90%] RP,HF,OC,TR,NU || ημιν [10%] CP || ημας C
[19] ητις **f**[35] [97%] RP,HF,OC,TR,CP || ο A,B,C,048 [2%] NU || ος ℵ [1%]
[20] θεου **f**[35] (95.2%) RP,HF,OC,TR,CP || χριστου ℵA,B,C,I (4.8%) NU
[21] χριστου *rell* || θεου A,C [9%] || κυριου ℵ,I [1%] bo
[22] και **f**[35] A[v],I[v] [97%] RP,HF,OC,TR,CP || --- ℵB,C [3%] NU
[23] και **f**[35] A,I[v] [97%] RP,HF,OC,TR,CP || --- ℵB,C [3%] NU
[24] εν **f**[35] ℵA,C [95%] RP,HF,OC,TR,CP || 1 τη P[46]B [3%] [NU] || --- [2%]

17 Και παν ὅ τι[3] αν[4] ποιητε εν λογω ἠ εν[5] εργω, παντα εν ονοματι[6] Κυριου Ιησου, ευχαριστουντες τω Θεω και[7] Πατρι δι' αυτου.

*[Household relationships]*

18 Αἱ γυναικες, ὑποτασσεσθε τοις ιδιοις[8] ανδρασιν, ὡς ανηκεν εν Κυριω.

19 Οἱ ανδρες, αγαπατε τας γυναικας και μη πικραινεσθε προς αυτας.

20 Τα τεκνα, ὑπακουετε τοις γονευσιν κατα παντα, τουτο γαρ εστιν ευαρεστον[9] εν[10] Κυριω.

21 Οἱ πατερες, μη ερεθιζετε[11] τα τεκνα ὑμων, ἱνα μη αθυμωσιν.

22 Οἱ δουλοι, ὑπακουετε κατα παντα τοις κατα σαρκα κυριοις, μη εν οφθαλμοδουλιαις[12] ὡς ανθρωπαρεσκοι, αλλ' εν ἁπλοτητι καρδιας, φοβουμενοι τον Θεον.[13]
23 Και παν ὅ τι[14] εαν[15] ποιητε, εκ ψυχης εργαζεσθε, ὡς τω Κυριω και ουκ ανθρωποις,
24 ειδοτες ὁτι[16] απο Κυριου ληψεσθε[17] την ανταποδοσιν της κληρονομιας· τω γαρ[18] Κυριω Χριστω δουλευετε. 25 (Ὁ δε[19] αδικων κομιειται[20] ὃ ηδικησεν, και ουκ εστιν προσωποληψια.)[21]

**4**.1 Οἱ κυριοι, το δικαιον και την ισοτητα τοις δουλοις παρεχεσθε,[22] ειδοτες ὁτι και ὑμεις εχετε Κυριον εν ουρανοις.[23]

*[Redeem the time]*

2 Τη προσευχη προσκαρτερειτε, γρηγορουντες εν αυτη εν ευχαριστια, 3 προσευχομενοι ἁμα και περι ἡμων, ἱνα ὁ Θεος ανοιξη[24] ἡμιν θυραν του λογου, λαλησαι το μυστηριον του Χριστου (δι' ὃ[25] και δεδεμαι), 4 ἱνα φανερωσω αυτο, ὡς δει με λαλησαι. 5 Εν σοφια περιπατειτε προς τους εξω, τον καιρον εξαγοραζομενοι. 6 Ὁ λογος ὑμων παντοτε εν χαριτι, ἁλατι ηρτυμενος, ειδεναι πως δει ὑμας ἑνι ἑκαστω αποκρινεσθαι.

[Concluding remarks]

**4**.7 Τα κατ' εμε παντα γνωρισει ὑμιν Τυχικος, ὁ αγαπητος αδελφος και πιστος διακονος και συνδουλος εν Κυριω, 8 ὃν επεμψα προς ὑμας εις αυτο τουτο, ἱνα γνω[26] τα περι ὑμων[27] και

---

1 τη καρδια **f**35 [95%] RP,HF,OC,TR,CP || ταις καρδιαις P46ℵA,B,C [5%] NU
2 κυριω **f**35 [96%] RP,HF,OC,TR,CP || θεω P46vℵA,B,C [4%] NU
3 ὃ τι **f**35 ℵA,B,C [80%] RP,HF,OC,TR,NU || ὁτι [20%] CP
4 αν **f**35 ℵA,C [97%] RP,HF,OC,TR,CP || εαν P46B [3%] NU
5 εν *rell* || --- [10%]
6 ονοματι *rell* || 1 του [10%]
7 και **f**35 [98%] RP,HF,OC,TR,CP || --- P46vℵA,B,C [2%] NU
8 ιδιοις **f**35 [80%] RP,HF,TR || --- ℵA,B,C [19%] OC,CP,NU || υμων after ανδρασιν [1%]
9 εστιν ευαρεστον **f**35 [95%] RP,HF,OC,TR,CP || ~ 21 ℵA,B,C [5%] NU
10 εν **f**35 ℵA,B,C [79%] RP,HF,CP,NU || τω [20%] OC,TR || --- [1%]
11 ερεθιζετε **f**35 P46B (79.5%) RP,HF,OC,TR,CP,NU || παροργιζετε (ℵ)A(C) (19.8%) || four other readings (0.7%)
12 οφθαλμοδουλιαις **f**35 ℵC [40%] OC || οφθαλμοδουλειαις [43%] RP,HF,TR,CP || οφθαλμοδουλια [10%] NU || οφθαλμοδουλεια P46A,B [5%] || οφθαλμοδουλειαι [2%]
13 θεον **f**35 P46 [90%] RP,HF,OC,TR,CP || κυριον ℵA,B,C,048 [10%] NU
14 και παν ὃ τι **f**35 (79.3%) RP,HF,OC,TR,CP || 123 (10.4%) || 234 (1.3%) || 134 (0.5%) || 23 (2.2%) || 12 οτε (0.8%) || 3 P46ℵA,B,C (4.7%) NU || four other readings (0.8%) (Perhaps some 20% evidently have ὁτι instead of ὃ τι.)
15 εαν **f**35 ℵA,B,C (79.9%) RP,HF,OC,TR,CP,NU || αν P46 (19.1%) || --- (1%)
16 οτι *rell* || --- CP
17 ληψεσθε **f**35 P46(A) [80%] RP,HF || απολημψεσθε (ℵB,Cv) [20%] OC,TR(NU) || απολημψεσθαι CP || one other variant
18 γαρ **f**35 [95%] RP,HF,OC,TR,CP || --- P46ℵA,B,C [5%] NU
19 δε **f**35 [95%] RP,HF,OC,TR,CP || γαρ ℵA,B,C [5%] NU
20 κομιειται **f**35 ℵA,C [95%] RP,HF,OC,TR,CP || κομισεται B [5%] NU
21 προσωποληψια *rell* || προσωπολημψια ℵA,B,C [5%] NU
22 παρεχεσθε **f**35 ℵA,B [80%] RP,HF,OC,TR,NU || παρεχετε C [18%] CP || παρεσχεσθε [2%]
23 ουρανοις **f**35 [97%] RP,HF,OC,TR,CP || ουρανω ℵA,B,C,I [3%] NU
24 ανοιξη *rell* || 1 και CP
25 δι ὃ *rell* || διο [20%]
26 γνω **f**35 P46C (87.6%) RP,HF,OC,TR,CP || γνωτε ℵA,B,048 (10.9%) NU || γνωται (1%) || --- (0.5%)
27 υμων **f**35 P46ℵC (88.1%) RP,HF,OC,TR,CP || ημων A,B,048 (11.4%) NU || --- (0.5%)

παρακαλεση τας καρδιας ὑμων, 9 συν Ονησιμω, τω πιστω και αγαπητω αδελφω, ὅς εστιν εξ
ὑμων· παντα ὑμιν γνωριουσιν[1] τα ὥδε.[2]

10 Ασπαζεται ὑμας Αρισταρχος, ὁ συναιχμαλωτος μου, και Μαρκος ὁ ανεψιος
Βαρναβα (περι οὗ ελαβετε εντολας· εαν ελθη προς ὑμας δεξασθε αυτον), 11 και Ιησους ὁ
λεγομενος Ιουστος, οἱ οντες εκ περιτομης οὗτοι μονοι συνεργοι εις την βασιλειαν του Θεου·
οἵτινες εγενηθησαν μοι παρηγορια.

12 Ασπαζεται ὑμας Επαφρας, ὁ εξ ὑμων, δουλος Χριστου,[3] παντοτε αγωνιζομενος ὑπερ
ὑπερ ὑμων εν ταις προσευχαις, ἱνα στητε[4] τελειοι και πεπληρωμενοι[5] εν παντι θεληματι του
Θεου. 13 Μαρτυρω γαρ αυτω ὁτι εχει ζηλον πολυν[6] ὑπερ ὑμων, και των εν Λαοδικεια και
των εν Ἱεραπολει.

14 Ασπαζεται ὑμας Λουκας, ὁ ιατρος ὁ αγαπητος, και Δημας. 15 Ασπασασθε τους εν
Λαοδικεια[7] αδελφους, και Νυμφαν και την κατ' οικον αυτου[8] εκκλησιαν.

16 Και ὁταν αναγνωσθη παρ' ὑμιν ἡ επιστολη, ποιησατε ἱνα και εν τη Λαοδικεων[9]
εκκλησια αναγνωσθη, και την εκ Λαοδικειας ἱνα και ὑμεις αναγνωτε.

17 Και ειπατε Αρχιππω, "Βλεπε την διακονιαν ἣν παρελαβες εν Κυριω, ἱνα αυτην
πληροις."

## [Sign-off]

**4**.18 Ὁ ασπασμος τη εμη χειρι: Παυλου. Μνημονευετε μου των δεσμων. Ἡ χαρις μεθ' ὑμων.
Αμην.[10,11]

---

[1] γνωριουσιν **f**[35] ℵA,C [97%] RP,HF,OC,TR,CP || γνωρισουσιν P[46]B [3%] NU

[2] ὥδε *rell* || ὧδε **f**[35] [40%] (I include this information for the record, and so as not to lose sight of it; since there is no contrast in meaning here, and I am not aware that the Autographs contained 'breathing' marks, I stay with the conventional spelling. However, it may be noted that the difference between ὧ δε and ὧδε would be indistinct in most MSS; the simple expedient reflected in **f**[35] resolves the ambiguity.)

[3] χριστου **f**[35] P[46] [95%] RP,HF,OC,TR,CP || 1 ιησου ℵA,B,I [4%] [NU] || ιησου 1 C [1%]

[4] στητε **f**[35] A,C [97%] RP,HF,OC,TR,CP || σταθητε ℵB [1%] NU || ητε I [2%]

[5] πεπληρωμενοι **f**[35] P[46] [97%] RP,HF,OC,TR,CP || πεπληροφορημενοι ℵA,B,C [3%] NU

[6] ζηλον πολυν **f**[35] [95%] RP,HF,OC,TR,CP || ~ 2 πονον ℵA,B,C [4%] NU || four other readings [1%]

[7] λαοδικεια *rell* || λαοδικια ℵA,C [10%]

[8] αυτου **f**[35] [92%] RP,HF,OC,TR,CP || αυτων ℵA,C [6%] || αυτης B [1%] NU || --- [1%]

[9] λαοδικεων **f**[35] B [85%] HF,OC,TR,NU || λαοδικαιων ℵA,C [15%] RP,CP

[10] αμην **f**[35] [95%] RP,HF,OC,TR,CP || --- ℵA,B,C,048 [5%] NU

[11] The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 18, 444, 1732, 1864, 2552 and 2723 are 'perfect' representatives of **f**[35] in Colossians, as they stand, as were the exemplars of another eight. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Bucharest, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

I have included six published editions in the apparatus—RP,HF,OC,TR,CP,NU. RP = Robinson-Pierpont (2005), HF = Hodges-Farstad, OC = the Greek Text of the Greek Orthodox Church (also used by other Orthodox Churches), TR = *Textus Receptus*, CP = Complutensian Polyglot, NU = N-A[26]/UBS[3] (N-A[27]/UBS[4] offer changes in the critical apparatus, not in the text; the text is still that of N-A[26]/UBS[3]).

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from TuT, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ± 1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ± 3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ± 15%.

As an arbitrary decision, I have limited the citation of individual MSS to those dated to the 5th century or earlier. I use *rell* to indicate that the reading is supported by all other witnesses, and printed editions (of the six included in the apparatus), compared to the other reading. The Greek font used is Bwgrkl and may be downloaded free from http://www.bibleworks.com/fonts.hmtl.